UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

Universitätsbibliothek Wuppertal

Plutarchu Chairōneōs Ta Sōzomena Panta

Continens Moralia

Plutarchus

Francofurti, 1620

Excerpta quædam e Plutarchi commentario de animæ procreatione apud Platonem in Timæo

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1372

Visual Library

καὶ ἀνομοιότητος ἐγγέγονε κοινωνία τις πρὸς ἄλληλα καὶ συμφωνία, ταύτης αἰτίαν εἶναι μετριότητα καὶ τάξιν, ἀριθμοῦ καὶ ἁρμονίας μεταλαχοῦσιν, οὐδὲ τοὺς ποιητὰς λέληθεν, ἄρθμια μὲν τὰ φίλα καὶ προσηνῆ καλοῦντας, ἀνάρσιους δὲ, τοὺς ἐχθροὺς καὶ τοὺς πολεμίους, ὡς ἀναρμοστίαν τὴν διαφορὰν οὖσαν. ὁ δὲ τῷ Πινδάρῳ ποιήσας τὸ ἐπικήδειον, Ἄρμενος ἦν ξείνοισιν ἀνὴρ ὅδε, καὶ φίλος ἀστοῖς, εὐαρμοστίαν δηλός ἐστι τὴν ἀρετὴν ἡγούμενος. ὥς που καὶ αὐτὸς ὁ Πίνδαρος τοῦ θεοῦ φησιν ἐπακούοντος σὺν ἀνορέαν ἐπιδεικνύμενος τὸν Κάδμον. οἵ τε πάλαι θεολόγοι, πρεσβύτατοι φιλοσόφων ὄντες, ὄργανα μουσικὰ θεῶν ἐνεχείριζον ἀγάλμασιν· οὐχ ὡς λύραν που καὶ αὐλὸν, ἀλλὰ οὐθὲν ἔργον οἰόμενοι θεῶν οἷον ἁρμονίαν εἶναι καὶ συμφωνίαν. ὥσπερ οὖν ὁ τοὺς ἐπιτρίτους καὶ ἡμιολίους καὶ διπλασίους λόγους ζητῶν ἐν τῷ ζυγῷ τῆς λύρας, καὶ τῇ χελώνῃ καὶ τοῖς κολλάβοις, γελοῖός ἐστι. (δεῖ μὲν γὰρ ἀμέλει καὶ ταῦτα συμμέτρως γεγονέναι πρὸς ἄλληλα μήκεσι καὶ πάχεσι, τὴν δὲ ἁρμονίαν ἐκείνην ἐπὶ τῶν φθόγγων θεωρεῖν) οὕτως εἰκὸς μὲν ἐστι καὶ τὰ σώματα τῶν ἀστέρων, καὶ τὰ διαστήματα τῶν κύκλων, καὶ τὰ τάχη τῶν περιφορῶν, ὥσπερ ὄργανα ἐν τεταγμένοις ἔχειν ἐμμέτρως πρὸς ἄλληλα καὶ πρὸς τὸ ὅλον, εἰ καὶ τὸ ποσὸν ἡμᾶς τοῦ μετρίου διαπέφευγε. τῶν μέντοι λόγων ἐκείνων οἷς ὁ δημιουργὸς ἐχρήσατο, καὶ τῶν ἀριθμῶν ἔργον ἡγεῖσθαι τὴν αὐτῆς τῆς ψυχῆς ἐπιμέλειαν καὶ ἁρμονίαν πρὸς αὐτὴν, ἐφ᾽ οἷς καὶ τὸν οὐρανὸν ἐγγενομένη μυρίων ἀγαθῶν ἐμπέπληκεν, καὶ τὰ περὶ γῆν ὥραις καὶ μεταβολαῖς μέτρον ἐχούσαις, ἄριστα καὶ κάλλιστα πρός τε γένεσιν καὶ σωτηρίαν τῶν γινομένων διακεκόσμηκεν.

& diſſimilitudine communio inter ſe ſocietaſq; & concentus obtigit: eius cauſam eſſe mediocritatem & ordinem numero atque harmonia conſtantem, ne poetæ quidem ignorauerunt. Hi enim arthmia, quaſi articulata aut concinna ſi diceres, vocauerunt quę amica nobis & cara eſſent: anarſios autem, quaſi inconcinnos, inimicos. nimirum quòd inimicicia eſſet quædam inconcinnitas, & qui in Pindari mortem ſcripſit funebre carmen,

Hoſpitibus fuit aptus, carus ciuibus ille:

ſatis oſtendit ſe concinnitatem & comitatem pro virtute reputaſſe. ſicut & ipſe alicubi Pindarus ait, deo exaudiente virtutem * Cadmum ſignificans. Priſci porro theologi, philoſophorum vetuſtiſſimi, muſica inſtrumenta in manus deorum imaginibus poſuerunt: non ſane, quod eos lyra aut cithara ludere putarent: ſed quòd nullum deo opus conuenientius eſſe iudicarent, quàm conſonantiam & harmoniã. Sicut igitur qui proportiones ſeſquitertias, ſeſquiplas, atq; duplas quærat in iugo lyræ teſtudine, & clauis, ridiculus ſit: (nam quin & hæc debeant inter ſe longitudinem & craſſiciem habere proportione aptam, dubium non eſt: cum interim harmonia in fidium ſit conſideranda ſonis) ita probabile eſt etiã corpora ſtellarum, interualla circulorum, conuerſionum celeritates, tanquam inſtrumenta recto ordine diſpoſita, ſuam habere cum inter ſe, tum ad totã cõpagem Vniuerſi proportionẽ: etiamſi nos quantitas & menſura lateant. Tamẽ proportionibus iſtis, quibus vſus eſt opifex, numeriſque adſcribi par eſt animæ inter ſuas partes concinnitatem, quibus illa prædita cum cœlum ipſum innumeris bonis impleuit, tum quę ad terram pertinent, tempeſtatem mutationumq; dimenſis viciſſitudinibus, optime pulcerrimeque ad procreationem & conſeruationem eorum quæ naſcerentur, adornauit.

ΠΛΟΥΤΑΡΧΟΥ ἘΠΙΤΟΜΗ͂ ΤΟΥ͂ ΠΕΡῚ ΤΗ͂Σ ἘΝ ΤΩ͂Ι ΤΙΜΑΊΩΙ ΨΥΧΟΓΟΝΊΑΣ.

ΠΕΡῚ τῆς ἐν τῷ Τιμαίῳ ψυχογονίας ἐπιγεγραμμένος λόγος, ὅσα Πλάτωνι καὶ τοῖς Πλατωνικοῖς πεφιλοτίμηται ἐπαγγέλλει· εἰσάγει δὲ καὶ γεωμετρικάς τινας ἀναλογίας καὶ ὁμοιότητας, πρὸς τὴν τῆς ψυχῆς (ὡς οἴεται) θεωρίαν συντεινούσας αὐτῷ· καὶ δὴ καὶ μουσικὰ καὶ ἀριθμητικὰ θεωρήματα. λέγει δὲ τὴν ὕλην διαμορφωθῆναι ὑπὸ τῆς ψυχῆς, καὶ δίδωσι μὲν τῷ παντὶ ψυχὴν, δίδωσι δὲ καὶ ἑκάστῳ ζώῳ τὴν διοικοῦσαν αὐτὸ, καὶ πῆ μὲν ἀγένητον εἰσάγει ταύτην, πῆ δὲ γενέσει δουλεύουσαν· ἀΐδιον δὲ τὴν ὕλην καὶ ὑπὸ τοῦ θείου διὰ τῆς ψυχῆς μορφωθῆναι, καὶ τὴν κακίαν δὲ βλάστημα τῆς ὕλης γεγονέναι, ἵνα μὴ (φησὶ) τὸ θεῖον αἴτιον τῶν κακῶν νομισθείη. Ὅτι οἱ περὶ τὸν Ποσιδώνιον οὐ μακρὰν τῆς ὕλης ἀπέστησαν τὴν ψυχὴν, ἀλλὰ δεξάμενοι τὴν τῶν περάτων οὐσίαν περὶ τὰ σώματα λέγεσθαι μεριστὴν, καὶ ταῦτα τῷ νοητῷ μίξαντες, ἀπεφήναντο τὴν ψυχὴν ἰδέαν εἶναι τοῦ πάντη διαστατοῦ κατ᾽ ἀριθμὸν συνεστῶσαν ἁρμονίαν περιέχοντα.

EXCERPTA QVÆDAM

è Plutarchi commentario de animæ procreatione apud Platonem in Timæo.

COMMENTARIVS, qui inſcribitur de animę procreatione in Timæo, refert quę Plato & Platonici magno ſtudio diſputauerint. Introducit etiam geometricas quaſdam proportiones & ſimilitudines, ad animæ contemplationem (vt cenſet) ei conducentes: nec non muſicas quaſdam & arithmeticas perceptiones. Materiam ait informari ab anima. tribuitque vniuerſo animam, & tribuit vnicuique animali quæ id temperet. animam quodam modo ortus expertem facit, quodam modo obnoxiam ortui. Materiam æternam, & quam deus animæ opera informauerit. Prauitatem eſſe germen materiæ, ne (inquit) deus malorum cauſa putetur. Poſidonius (ait) non longe à materia animam remouit. ſed Platonis verba ſic accipiens, ſubſtantiam terminorum ſeu extremitatum circa corpora eſſe diuiduam, eamque cum intelligibili miſcens, animam pronunciauit eſſe ideam eius quod vſquequaque dimenſiones habet, ratione numeri conſtitutam, qui harmoniam contineat.

Nam mathematica in medio primorũ intelligibilium & ſenſiliũ eſſe collocata : & cùm anima perpetuitatem intelligibilium, ac ſenſilium facultatẽ ad percipiendas affectiones habeat in ſe : par eſſe, vt eius natura in medio ſit. Nimirũ & hunc latuit, deum corporum extremitatib. poſtmodò demũ, iam anima abſoluta vſum ad conformandam materiam, cùm diſſipationi obnoxiam & vinculis carentẽ molẽ definiret ac includeret ſuperficiebus, quæ è triangulis erant concinnatæ. Abſurdius etiam hoc, q̃ animam ideam facit, cùm idea ſit immobilis, mobilis admodum anima. & illa cum ſenſili nihil habeat cõmercii : hæc in corpora incluſa ſit, ad hęc deus ideam vt exemplar fuerit imitatus, animã vt opus opifex confecerit. Quòd a. Plato animam non ponat numerũ eſſe, ſed ordinatam ratione numeri, iam antè dictũ eſt. Aduerſus vtroſq; illud commune eſt argumentũ, quod neq; extremitatibus neq; numeris vllum ineſt veſtigium illius facultatis, qua res ſenſiles anima iudicat ſuapte natura. Mentem quidem ei, & mente ſola cernendarũ rerum notiones cõmunicatio principii intelligentia ſola percipiendi inſeruit. opiniones autem, & perſuaſiones, imaginationes, & affectiones à qualitatib. corpori inhærẽtibus profectas, ne cogitari quidem poteſt ex vnitatibus, lineis, aut ſuperficieb. ſimpliciter eſſe innatas. Et verò nõ modò mortalium animæ vim cognoſcendi per ſenſus habent. ſed ipſam quoq; mundi animã ait ipſam in ſe reuolutam, vbi aliquid attigit ſubſtãtia præditũ diſſipabili, aut etiã indiuidua, hoc ipſam per ſe ipſã totam ſeſe cõmouendo narrare, quatenus idem ſit iſthuc, quatenus diuerſum, & cuius reſpectu maximè, quâ, & quomodo ſit affectũ ſubſtantię aut motus ratione. In his cùm decem prædicamentorũ aliquã poſuiſſet notationem : magis adhuc idẽ declarat in his quæ ſequũtur. Ratio, inquit, vera vbi de ſenſili cõcepta eſt, & circulus Diuerſi recta proficiſcens in totam animã de eo nunciũ affert : opiniones naſcuntur & perſuaſiones verę atq; cõſtantes. Cùm a. in iis vertitur, quæ intelligentiæ ſunt, & Eiuſdẽ circulus valde agilis iſta ſignificauerit, neceſſariò ſcientia abſoluitur. Hæc a. duo in qua re ingenerantur, ſi quis eam aliud quicquam dixerit q̃ animam, quiduis potiùs quàm verum dixerit. Vnde a. hic ſenſilia apprehendendi, & opinandi motus diuerſus ab intelligente illa, & in ſcientiam deſinẽte animæ motione obtigerit, dici nõ poteſt: niſi hoc firmiter conſtituamus, nunc Platonẽ non vniuerſè animam, ſed mundi animã componere è ſubiectis, nimirum è natura præſtãtiore & indiuidua, atq; è deteriore, quam ipſam circa corpora diuiduam appellauit, nõ diuerſam à motione opinioſa, imaginatrice, & quam ſenſilia afficiant: & quæ non ſit nata: ſed perpetuò ſubſtiterit, vt etiã altera. Natura n. quæ intelligendi habuit vim, habuit etiam opinandi. Verùm illa quidẽ motui non obnoxia, nõ affectioni: innixa fuit rebus ſemper eodem modo manentib. hæc autẽ diuidua & vaga fuit, vt quæ in motu verſantem, diſſipabilemq; incidiſſet in materiam. nam neq; ſenſili naturæ obtigerat ordo, ſed informis erat atq; indefinita : & facultas ei addicta neq; opiniones probè diſtinctas, neq; motiones omnes ordinatas percipiebat : ſed pleraſq; ſomniorũ ſimiles, temerarias, & quæ tumultũ corporeæ facultati adferrent, niſi fortuitò in idẽ cùm ſatione incidiſſent. erat enim in medio amborum, naturamq; habebat cum vtriſque cognatam atque conſen-

A τά, τε γὰρ μαθηματικὰ τῶν πρώτων νοητῶν μεταξὺ καὶ τῶν αἰ-
σθητῶν τετάχθαι, τῆς τε ψυχῆς τῷ νοητῷ τὸ ἀΐδιον, καὶ τῷ
αἰσθητικῷ τὸ παθητικὸν ἐχούσης, προσῆκον ἐν μέσῳ τὴν οὐσίαν
ὑπάρχειν. ἔλαθε γὰρ καὶ τούτους ὁ θεὸς τοῖς τῶν σωμάτων πέρασιν
ὕστερον ἀπειργασμένης ἤδη τῆς ψυχῆς χρώμενος ἐπὶ τὴν τῆς
ὕλης διαμόρφωσιν, τὸ σκεδαστὸν αὐτῆς καὶ ἀσύνδετον ὁρί-
ζων καὶ περιλαμβάνων ταῖς ἐκ τῶν τριγώνων συναρμοττο-
μένων ἐπιφανείαις. ἀτοπώτερον δὲ τὸ τὴν ψυχὴν ἰδέαν ποιεῖν.
ἡ μὲν γάρ, ἀεικίνητος, ἡ δέ, ἀκίνητος· καὶ ἡ μέν, ἀμιγὴς πρὸς τὸ
αἰσθητόν, ἡ δέ, τῷ σώματι συνειργμένη. πρὸς δὲ τούτοις, ὁ
B θεὸς τῆς μὲν ἰδέας ὡς παραδείγματος γέγονε μιμητής, τῆς
δὲ ψυχῆς ὥσπερ ἀποτελέσματος δημιουργός. ὅτι δὲ οὐδὲ
ἀριθμὸν ὁ Πλάτων τὴν οὐσίαν τίθεται τῆς ψυχῆς, ἀλλὰ ταττο-
μένην ὑπ' ἀριθμοῦ, προείρηται. πρὸς δ' ἀμφοτέροις τού-
τοις κοινόν ἐστι τὸ μήτε τοῖς πέρασι μήτε τοῖς ἀριθμοῖς μηθὲν
ἴχνος ἐνυπάρχειν ἐκείνης τῆς δυνάμεως ᾗ τὸ αἰσθητὸν ἡ ψυ-
χὴ πέφυκε κρίνειν. νοῦ μὲν γὰρ αὐτῇ καὶ νοητοῦ ἡ τῆς νοητῆς
μέθεξις ἀρχῆς ἐμπεποίηκε, δόξας δὲ καὶ πίστεις καὶ τὸ φαν-
ταστικὸν καὶ τὸ παθητικὸν ὑπὸ τῶν περὶ τὸ σῶμα ποιοτήτων·
ὃ οὐκ ἄν τις ἐκ μονάδων οὐδὲ γραμμῶν οὐδ' ἐπιφανειῶν
C ἁπλῶς νοήσειεν ἐγγινόμενον. καὶ μὴν οὐ μόνον αἱ τῶν θνητῶν
ψυχαὶ γνωστικὴν τοῦ αἰσθητοῦ δύναμιν ἔχουσιν, ἀλλὰ καὶ τὴν
τοῦ κόσμου φησὶν ἀνακυκλουμένην αὐτὴν πρὸς ἑαυτήν, ὅ-
ταν οὐσίαν σκεδαστὴν ἔχοντός τινος ἐφάπτηται, καὶ ὅταν ἀμέρι-
στον λέγει κινουμένην διὰ πάσης ἑαυτῆς, ὅτῳ ἄν τι ταὐτὸν, ἢ
καὶ ὅτῳ ἂν ἕτερον, πρὸς ὅ, τι τε μάλιστα καὶ ὅπῃ καὶ ὅπως
συμβαίνει, καὶ τὰ γινόμενα πρὸς ἕκαστον ἕκαστα εἶναι καὶ πά-
σχειν. ἐν τούτοις ἅμα καὶ τῶν δέκα κατηγοριῶν ποιούμενος ὑ-
πογραφήν, ἔτι μᾶλλον τοῖς ἐφεξῆς διασαφεῖ. λόγος γὰρ (φη-
σὶν) ἀληθής, ὅταν μὲν περὶ τὸ αἰσθητὸν γίγνηται, καὶ ὁ τοῦ θα-
D τέρου κύκλος ὀρθὸς ἰὼν εἰς πᾶσαν αὐτοῦ τὴν ψυχὴν διαγγεί-
λῃ, δόξαι καὶ πίστεις γίνονται βέβαιοι καὶ ἀληθεῖς· ὅταν δ' αὖ
πάλιν περὶ τὸ λογιστικὸν ᾖ, καὶ ὁ τοῦ ταὐτοῦ κύκλος εὔτροχος
ὢν αὐτὰ μηνύσῃ, ἐπιστήμη ἐξ ἀνάγκης ἀποτελεῖται. τού-
τω δὲ ἐν ᾧ τῶν ὄντων ἐγγίνεσθον, ἐάν ποτέ τις αὐτὸ ἄλλο πλὴν
ψυχὴν προσείπῃ, πᾶν μᾶλλον ἢ τὸ ἀληθὲς ἐρεῖ. πόθεν οὖν
ἔσχεν ἡ ψυχὴ τὴν ἀντιληπτικὴν τοῦ αἰσθητοῦ καὶ δοξαστικὴν
ταύτην κίνησιν, ἑτέραν τῆς νοητῆς ἐκείνης καὶ τελευτώσης
εἰς ἐπιστήμην, ἔργον εἰπεῖν· μὴ θεμένους βεβαίως, ὅτι νῦν
οὐχ ἁπλῶς ψυχήν, ἀλλὰ κόσμου ψυχὴν κίνησιν ἐξ ὑπο-
E κειμένης τῆς τε κρείττονος οὐσίας καὶ ἀμερίστου καὶ τῆς χεί-
ρονος, ἣν περὶ τὰ σώματα μεριστὴν κέκληκεν, οὐχ ἑτέραν
οὖσαν ἢ τὴν δοξαστικὴν καὶ φανταστικήν, καὶ συμπαθῆ τῶν αἰ-
σθητῶν κίνησιν, οὐ γιγνομένην, ἀλλ' ὑφεστῶσαν ἀΐδιον, ὥσπερ ἡ
ἑτέρα. τὸ γὰρ νοερὸν ἡ φύσις ἔχουσα, καὶ τὸ δοξαστικὸν εἶχεν.
ἀλλ' ἐκεῖνο μὲν ἀκίνητον καὶ ἀπαθές, καὶ περὶ τὴν ἀεὶ μένου-
σαν ἱδρυμένον οὐσίαν· τοῦτο δέ, μεριστὸν καὶ πλανητόν, ἅτε δὴ
φερομένης καὶ σκεδαννυμένης ἐφαπτόμενον ὕλης. οὔτε γὰρ
τὸ αἰσθητὸν εἰλήχει τάξεως, ἀλλ' ἦν ἄμορφον καὶ ἀόριστον. ἥ
τε περὶ τοῦτο τεταγμένη δύναμις, οὔτε δόξας ἐνάρθρους,
F οὔτε κινήσεις ἁπάσας ἔχουσα τεταγμένας, ἀλλὰ τὰς πολ-
λὰς ἐνυπνιώδεις καὶ παραφόρους καὶ ταράττουσας τὸ σω-
ματοειδές, ὅσα μὴ κατὰ τύχην τῷ βελτίονι περιέπιπτεν. ἐν
μέσῳ γὰρ ἦν ἀμφοῖν, καὶ πρὸς ἀμφότερα συμπαθῆ καὶ συγ-

ψυχὴν φύσιν εἶχεν, τὴν μὲν αἰσθητικὴν τῆς ὕλης ἀντεχομένην, τὴν δὲ κριτικὴν τῶν νοητῶν. οὕτω δέ πως καὶ Πλάτων διασαφεῖ τοῖς ὀνόμασιν. Οὗτος γὰρ (φησὶν) παρὰ τῆς ἐμῆς ψήφου λογισθεὶς, ἐν κεφαλαίῳ δεδόσθω λόγος, ὄν τε καὶ χώραν καὶ γένεσιν εἶναι τρία τριχῇ, καὶ πρὶν οὐρανὸν γενέσθαι. καὶ χώραν τε γὰρ καλεῖ τὴν ὕλην, ὥσπερ ἕδραν, ἔστιν ὅτε καὶ ὑποδοχήν· ὂν δὲ, τὸ νοητόν· γένεσιν δὲ, τοῦ κόσμου μήπω γεγονότος, οὐδεμίαν ἄλλην ἢ τὴν ἐν μεταβολαῖς καὶ κινήσεσιν οὐσίαν, τοῦ τυποῦντος καὶ τοῦ τυπουμένου μεταξὺ τεταγμένην, διαδιδοῦσαν ἐνταῦθα τὰς ἐκεῖθεν εἰκόνας. διά τε δὴ ταῦτα μεριστὴ προσηγορεύθη, καὶ ὅτι τῷ αἰσθητῷ τὸ αἰσθανόμενον, καὶ τῷ φανταστῷ τὸ φανταζόμενον ἀνάγκη συνδιανέμεσθαι καὶ συμπαρήκειν. ἡ γὰρ αἰσθητικὴ κίνησις ἰδία ψυχῆς οὖσα, κινεῖται πρὸς τὸ αἰσθητὸν ἐκτός. ὁ δὲ νοῦς αὐτὸς μὲν ἐφ' ἑαυτοῦ μόνιμος ἦν καὶ ἀκίνητος, ἐγγενόμενος δὲ τῇ ψυχῇ καὶ κρατήσας εἰς ἑαυτὸν ἐπιστρέφει καὶ συμπεραίνει τὴν ἐγκύκλιον φορὰν, περὶ τὸ μὲν ἀεὶ μάλιστα ψαύουσαν τοῦ ὄντος. διὸ καὶ δυσανάκρατος ἡ κοινωνία γέγονεν αὐτῶν, τῷ ἀμερίστῳ τὸ μεριστὸν, καὶ τῷ μηδαμῇ κινητῷ τὸ πάντῃ φορητὸν μιγνύουσα, καὶ καταβιαζομένη θάτερον εἰς ταὐτὸν συνελθεῖν. ἦν δὲ τὸ θάτερον οὐ κίνησις, ὥσπερ οὐδὲ ταὐτὸν στάσις, ἀλλ' ἀρχὴ διαφορᾶς καὶ ἀνομοιότητος. ἑκάτερον γὰρ ἀπὸ τῆς ἑτέρας ἀρχῆς κάτεισι. τὸ μὲν ταὐτὸν ἀπὸ τοῦ ἑνός, τὸ δὲ θάτερον, ἀπὸ τῆς δυάδος. καὶ μέμικται πρῶτον ἐνταῦθα περὶ τὴν ψυχὴν, ἀριθμοῖς καὶ λόγοις συνδεθέντα, καὶ μεσότησιν ἐναρμονίοις. καὶ ποιεῖ θάτερον ἐγγενόμενον τῷ αὐτῷ διαφορὰν, τὸ δὲ ταὐτὸν ἐν τῷ ἑτέρῳ τάξιν, ὡς δῆλόν ἐστιν ἐν ταῖς πρώταις τῆς ψυχῆς δυνάμεσιν. εἰσὶ δὲ αὗται τὸ κριτικὸν καὶ τὸ κινητικόν. ἡ μὲν οὖν κίνησις εὐθὺς ἐπιδείκνυται περὶ τὸν οὐρανὸν, ἐν μὲν τῇ ταυτότητι τὴν ἑτερότητα τῇ περιφορᾷ τῶν ἀπλανῶν, ἐν δὲ τῇ ἑτερότητι τὴν ταυτότητα τῇ τάξει τῶν πλανητῶν. ἐπικρατεῖ γὰρ ἐν ἐκείνοις τὸ ταὐτόν· ἐν δὲ τοῖς περὶ γῆν τοὐναντίον. ἡ δὲ κρίσις ἀρχὰς μὲν ἔχει δύο, τόν τε νοῦν ἀπὸ τοῦ ταὐτοῦ πρὸς τὰ καθόλου, καὶ τὴν αἴσθησιν ἀπὸ τοῦ ἑτέρου, πρὸς τὰ καθ' ἕκαστα. μέμικται δὲ λόγος ἐξ ἀμφοῖν, νόησις ἐν τοῖς νοητοῖς, καὶ δόξα γινόμενος ἐν τοῖς αἰσθητοῖς· ὀργάνοις τε μεταξὺ φαντασίαις τε καὶ μνήμαις χρώμενος. ὧν τὰ μὲν ἐν τῷ αὐτῷ τὸ ἕτερον, τὰ δὲ ἐν τῷ ἑτέρῳ ποιεῖ τὸ ταὐτόν. ἔστι γὰρ ἡ μὲν νόησις κίνησις τοῦ κινοῦντος περὶ τὸ μένον· ἡ δὲ δόξα, μονὴ τοῦ αἰσθανομένου περὶ τὸ κινούμενον. φαντασίαν δὲ συμπλοκὴν δόξης πρὸς αἴσθησιν οὖσαν, ἵστησιν ἐν μνήμῃ τὸ ταὐτόν. τὸ δὲ θάτερον κινεῖ πάλιν ἐν διαφορᾷ τοῦ πρόσθεν καὶ νῦν, ἑτερότητος ἅμα καὶ ταυτότητος ἐφαπτόμενον. δεῖ δὲ τὴν περὶ τὸ σῶμα τοῦ κόσμου γινομένην σύνταξιν, εἰκόνα λαβεῖν τῆς ἀναλογίας ἐν ᾗ δημιούργησε τὴν ψυχήν. ἐκεῖ μὲν γὰρ ἦν ἄκρα, τὸ πῦρ καὶ ἡ γῆ, χαλεπὴν πρὸς ἄλληλα κραθῆναι φύσιν ἔχοντα, μᾶλλον δὲ ὅλως ἄκρατα καὶ ἀσύστατα. ὅθεν ἐν μέσῳ θέμενος αὐτῶν, τὸν μὲν ἀέρα πρὸ τοῦ πυρὸς, τὸ δὲ ὕδωρ πρὸ τῆς γῆς, ταῦτα πρῶτον ἀλλήλοις ἐκέρασεν· εἶτα διὰ τούτων ἐκεῖνα πρός τε ταῦτα καὶ ἄλληλα συνέμιξε καὶ συνήρμοσεν. ἐνταῦθα δὲ πάλιν τὸ ταὐτὸν καὶ τὸ θάτερον ἐναντίας δυνάμεις, καὶ ἀκρότητας ἀντιπάλους συνήγαγεν, οὐ δι' αὐτῶν, ἀλλὰ οὐσίας ἑτέρας μεταξὺ, τὴν μὲν ἀμέριστον περὶ τοῦ ταὐτοῦ, περὶ δὲ τοῦ θατέρου τὴν μεριστὴν, ἔστιν ᾗ προσήκουσαν ἑκατέραν ἑκατέρᾳ τάξας, εἶτα μιχθείσαις ἐκείναις ἐπεγκεραννύμενος, οὕτω τὸ πᾶν συνύφηνε τῆς ψυχῆς εἶδος, ὡς ἦν δυνατὸν, ἐκ διαφόρων ὅμοιον ἔκ τε πολλῶν ἀπεργασάμενος.

A tientē, vi ſentiendi materiā apprehendens, iudicio vim intelligentē. Atq; hoc ipſe penè diſertis verbis declarat. Mea, inquiens, hæc eſt, vt verbo dicam, ſententia, fuiſſe ante originē cæli tria hæc ſeorſim, Ens, Spacium, Ortum ſeu procreationem. Spacii n. vocabulo adficit materiam, vt & ſedis, atq; aliàs receptaculi. Ens a. vocat, id quod ſola mente percipitur, ſeu intelligibile: Ortum mundi nondū nati ſubſtantiam, nulla ſitā alia in re, quàm in mutationibus & motibus, inter informans atq; informatū medio loco ordinatam atq; effigies eorum quę ibi
B ſunt huc tranſmittentem. Ergo cum ob hæc animā hanc diuiduam dicit, tum quòd ſenſili ſentiens, & imaginabili imaginans vis neceſſe eſt comitetur, eiq; adhæreat. Nam vis ſentiendi animæ propria, mouetur ſecundum id quod foris ſentitur. Mens ipſa per ſe ſtabilis erat, & motus expers: inſita animæ, in eamq; nacta imperium, in ſeipſam conuertitur, circularemq; conficit motum, ea quę ita ſunt vt ſemper ſui maneant ſimilia potiſſimū attingens. Itaq; etiam temperatu difficilis fuit eorum cōmunio, quæ indiuiduo diuiduum, nuſquam mobili vſquequaq; mobile miſceret, ac Diuerſa in Idem
C congredi cogeret. Non erat enim ipſe Motus Diuerſum, (vt ne Idem quidem erat quies) ſed initiū diſcriminis & inæqualitatis. Vtrumq; enim ab altero principiorū oritur: Idem ab vnitate, Diuerſum à binario. Atq; hæc primùm in anima fuerunt commixta, numeris & proportionibus colligata & medietatibus harmonicis. Efficitq; Diuerſum Eidem inſertum differentiam, Idem in Diuerſo ordinem: quod manifeſtum eſt in primis animæ facultatibus, iudicandi ſcilicet & mouendi. Motus ſtatim in cælo demonſtrat Diuerſitatē in Identitate. reuolutione inerrantium ſtellarū: & in diuerſitate identitatē ordine earundem. In his enim præ-
D ualet Idem. Contrà in iis quæ ponè terram ſunt. Motus a. principia habet duo mentem ab Eodem ad Vniuerſalia, & ſenſum à Diuerſo ad ſingularia. Ratio ex vtriſq; mixta eſt, quæ fit intelligētia in intellectui ſubiectis, opinio in ſenſilibus: vtiturq; inſtrumentis interim & viſis ac memoriis, quorum alia in Eodem Diuerſum, alia Idem in Diuerſo efficiunt. Eſt enim intelligentia motio facultatis intelligentis circa id quod permanet: opinio a. permanſio eius quod ſentitur circa id quod in motu eſt. Viſum a. (hoc phantaſiam dico) complexū opinionis cum ſenſu, conſtituit in memoria Idem.
E Diuerſum verò id rurſus mouet in diſcrimine pręteriti & præſentis, ſimul diuerſitatē & identitatem attingens. Cæterùm oportet eam contemperationem, qua corpus mundi conflatū eſt, adſciſcere ad exemplū proportionis, ſecundū quam fuit anima concinnata. Ibi n. erat purus ignis, & terra, quę inter ſe cōtemperari difficulter poſſent ſuapte natura, imò mixturam omnino & compoſitionē refugerēt. itaq; inter ea medio loco ponēs aerē igni, aquā terræ propiorē, iſthæc primùm cōmiſcuit, deinde horū opera etiam illa cum his & inter ſe con-
F temperauit cōcinnauitq; deus. Ita hęc etiam Idem & Diuerſum, facultates contrarias & extremitates inuicem aduerſantes conduxit, nō ipſas per ſe: ſed duas alias ſubſtantias, indiuiduam iuxta Idem, diuiduā iuxta Diuerſum conſtituens, ſuo ordine deuinxit: tum illis mixtis has cōtemperans, ita totam animæ formam contexuit, quantum fieri potuit ex differentibus ſimilē, ex multis vnam fabricatus.